eul_wid: emo-ab

*Αἰσχύλος ὁ τραγικός* · Aeschylus the Tragedian

# Libation Bearers

## *Χοηφόροι*

**Period:** *Κλασική* Classical
**Dialect:** *Δράμα Ἀττικόν* Attic Drama
**Domain:** *Δρᾶμα* Drama
**Format:** *Ἔμμετρος* Verse

1 ΟΡΕΣΤΗΣ
1.1 Ἑρμῆ χθόνιε, πατρῷ' ἐποπτεύων κράτη,
1.2 σωτὴρ γενοῦ μοι ξύμμαχός τ' αἰτουμένῳ·
1.3 ἥκω γὰρ ἐς γῆν τήνδε καὶ κατέρχομαι.
3.1 . . . . . . .
3.2 τύμβου δ' ἐπ' ὄχθῳ τῷδε κηρύσσω πατρὶ
5 κλύειν, ἀκοῦσαι. . . . .
5.1 . . . . . . .
5.2 . . . πλόκαμον Ἰνάχῳ θρεπτήριον.
5.3 τὸν δεύτερον δὲ τόνδε πενθητήριον
7.1 . . . . . . .
7.2 οὐ γὰρ παρὼν ᾤμωξα σόν, πάτερ, μόρον
7.3 οὐδ' ἐξέτεινα χεῖρ' ἐπ' ἐκφορᾷ νεκροῦ.
9 . . . . . . .
10.1 τί χρῆμα λεύσσω; τίς ποθ' ἥδ' ὁμήγυρις
10.2 στείχει γυναικῶν φάρεσιν μελαγχίμοις
10.3 πρέπουσα; ποίᾳ ξυμφορᾷ προσεικάσω;
10.4 πότερα δόμοισι πῆμα προσκυρεῖ νέον;
10.5 ἢ πατρὶ τὠμῷ τάσδ' ἐπεικάσας τύχω
15.1 χοὰς φερούσας νερτέροις μειλίγματα;
15.2 οὐδέν ποτ' ἄλλο· καὶ γὰρ Ἠλέκτραν δοκῶ
15.3 στείχειν ἀδελφὴν τὴν ἐμὴν πένθει λυγρῷ
15.4 πρέπουσαν. ὦ Ζεῦ, δός με τείσασθαι μόρον
15.5 πατρός, γενοῦ δὲ σύμμαχος θέλων ἐμοί.
20.1 Πυλάδη, σταθῶμεν ἐκποδών, ὡς ἂν σαφῶς μάθω γυναικῶν ἥτις ἥδε προστροπή.

20.2 ΧΟΡΟΣ
22.1 ἰαλτὸς ἐκ δόμων ἔβαν[στρ. α.
22.2 χοᾶν προπομπὸς ὀξύχειρι σὺν κόπῳ.
22.3 πρέπει παρῂς φοίνισσ’ ἀμυγμοῖς
25.1 ὄνυχος ἄλοκι νεοτόμῳ,
25.2 δι’ αἰῶνος δ’ ἰυγμοῖσι βόσκεται κέαρ.
25.3 λινοφθόροι δ’ ὑφασμάτων
25.4 λακίδες ἔφλαδον ὑπ’ ἄλγεσιν,
30.1 πρόστερνοι στολμοὶ πέπλων ἀγελάστοις
30.2 ξυμφοραῖς πεπληγμένων.
31.1 τορὸς γὰρ [Φοῖβος] ὀρθόθριξ δόμων[ἀντ. α.
31.2 ὀνειρόμαντις, ἐξ ὕπνου κότον πνέων,
31.3 ἀωρόνυκτον ἀμβόαμα
35.1 μυχόθεν ἔλακε περὶ φόβῳ,
35.2 γυναικείοισιν ἐν δώμασιν βαρὺς πίτνων,
35.3 κριταί 〈τε〉 τῶνδ’ ὀνειράτων
39 θεόθεν ἔλακον ὑπέγγυοι
40.1 μέμφεσθαι τοὺς γᾶς νέρθεν περιθύμως
40.2 τοῖς κτανοῦσί τ’ ἐγκοτεῖν.
41.1 τοιάνδε χάριν ἀχάριτον ἀπότροπον κακῶν,[στρ. β.
41.2 ἰὼ γαῖα μαῖα,
45.1 μωμένα μ’ ἰάλλει
45.2 δύσθεος γυνά. φοβοῦμαι δ’ ἔπος τόδ’ ἐκβαλεῖν.
45.3 τί γὰρ λύτρον πεσόντος αἵματος πέδοι;
45.4 ἰὼ πάνοιζυς ἑστία,
unit_20.1 ἰὼ κατασκαφαὶ δόμων.
unit_20.2 ἀνήλιοι βροτοστυγεῖς
unit_20.3 δνόφοι καλύπτουσι δόμους
54 δεσποτᾶν θανάτοισι.
55.1 σέβας δ’ ἄμαχον ἀδάματον ἀπόλεμον τὸ πρὶν[ἀντ. β.
55.2 δι’ ὤτων φρενός τε
55.3 δαμίας περαῖνον
55.4 νῦν ἀφίσταται. φοβεῖ-
55.5 ται δέ τις. τὸ δ’ εὐτυχεῖν,
60.1 τόδ’ ἐν βροτοῖς θεός τε καὶ θεοῦ πλέον.
60.2 ῥοπὴ δ’ ἐπισκοτεῖ δίκας
60.3 ταχεῖα τοῖς μὲν ἐν φάει,
60.4 τὰ δ’ ἐν μεταιχμίῳ σκότου
60.5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μένει χρονίζοντ’ ἄχη βρύει
65 τοὺς δ’ ἄκραντος ἔχει νύξ.
65.1 δι’ αἵματ’ ἐκποθένθ’ ὑπὸ χθονὸς τροφοῦ[στρ. γ.
65.2 τίτας φόνος πέπηγεν οὐ διαρρύδαν.
65.3 διαλγὴς ἄτη διαφέρει
65.4 τὸν αἴτιον παναρκέτας νόσου βρύειν
70.1 [τοὺς δ’ ἄκραντος ἔχει νύξ].
70.2 θιγόντι δ’ οὔτι νυμφικῶν ἑδωλίων[ἀντ. γ.
70.3 ἄκος, πόροι τε πάντες ἐκ μιᾶς ὁδοῦ
70.4 βαίνοντες τὸν χερομυσῆ
70.5 φόνον καθαίροντες ἴθυσαν μάταν.
75.1 ἐμοὶ δ’ (ἀνάγκαν γὰρ ἀμφίπτολιν[ἐπῳδ.
75.2 θεοὶ προσήνεγκαν· ἐκ γὰρ οἴκων
75.3 πατρῴων δούλιόν 〈μ’〉 ἐσάγαγον
75.4 αἶσαν) δίκαια καὶ μὴ δίκαια,
75.5 πρέποντ’ ἀρχὰς βίου,
80.1 βίᾳ φερομένων, αἰνέσαι, πικρὸν φρενῶν
80.2 στύγος κρατούσῃ. δακρύω δ’ ὑφ’ εἱμάτων ματαί-
80.3 οισι δεσποτᾶν τύχαις,
80.4 κρυφαίοις πένθεσιν παχνουμένη.
83 ΗΛΕΚΤΡΑ
84 δμῳαὶ γυναῖκες, δωμάτων εὐθήμονες,
85.1 ἐπεὶ πάρεστε τῆσδε προστροπῆς ἐμοὶ
85.2 πομποί, γένεσθε τῶνδε σύμβουλοι πέρι·
85.3 τί φῶ χέουσα τάσδε κηδείους χοάς;
85.4 πῶς εὔφρον’ εἴπω, πῶς κατεύξωμαι πατρί;
85.5 πότερα λέγουσα παρὰ φίλης φίλῳ φέρειν
90.1 γυναικὸς ἀνδρί, τῆς ἐμῆς μητρὸς πάρα;
90.2 τῶνδ’ οὐ πάρεστι θάρσος, οὐδ’ ἔχω τί φῶ
90.3 χέουσα τόνδε πέλανον ἐν τύμβῳ πατρός.
unit_33.1 ἢ τοῦτο φάσκω τοὔπος, ὡς νόμος βροτοῖς,
unit_33.2 ἴς’ ἀντιδοῦναι τοῖσι πέμπουσιν τάδε
95.1 στέφη, δόσιν γε τῶν κακῶν ἐπαξίαν;
95.2 ἢ σῖγ’ ἀτίμως, ὥσπερ οὖν ἀπώλετο
95.3 πατήρ, τάδ’ ἐκχέασα, γάποτον χύσιν,
95.4 στείχω, καθάρμαθ’ ὥς τις ἐκπέμψας, πάλιν
95.5 δικοῦσα τεῦχος ἀστρόφοισιν ὄμμασιν;
unit_35.1 τῆσδ’ ἔστε βουλῆς, ὦ φίλαι, μεταίτιαι·
unit_35.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κοινὸν γὰρ ἔχθος ἐν δόμοις νομίζομεν.
unit_35.3 μὴ κεύθετ’ ἔνδον καρδίας φόβῳ τινός.
unit_35.4 τὸ μόρσιμον γὰρ τόν τ’ ἐλεύθερον μένει
unit_35.5 καὶ τὸν πρὸς ἄλλης δεσποτούμενον χερός.
105.1 λέγοις ἄν, εἴ τι τῶνδ’ ἔχεις ὑπέρτερον.
105.2 Χο.αἰδουμένη σοι βωμὸν ὡς τύμβον πατρὸς
105.3 λέξω, κελεύεις γάρ, τὸν ἐκ φρενὸς λόγον.
105.4 Ηλ.λέγοις ἄν, ὥσπερ ᾐδέσω τάφον πατρός.
105.5 Χο.φθέγγου χέουσα σεμνά· τοῖσιν εὔφροσιν—
110.1 Ηλ.τίνας δὲ τούτους τῶν φίλων προσεννέπω;
110.2 Χο.πρῶτον μὲν αὑτὴν χὤστις Αἴγισθον στυγεῖ.
110.3 Ηλ.ἐμοί τε καὶ σοί τἄρ’ ἐπεύξομαι τάδε.
110.4 Χο.αὐτὴ σὺ ταῦτα μανθάνους’ ἤδη φράσαι.
110.5 Ηλ.τίν’ οὖν ἔτ’ ἄλλον τῇδε προστιθῶ στάσει;
115.1 Χο.μέμνησ’ Ὀρέστου, κεἰ θυραῖός ἐσθ’ ὅμως.
115.2 Ηλ.εὖ τοῦτο, κἀφρένωσας οὐχ ἥκιστά με.
115.3 Χο.τοῖς αἰτίοις νυν τοῦ φόνου μεμνημένη—
115.4 Ηλ.τί φῶ; δίδασκ’ ἄπειρον ἐξηγουμένη.
115.5 Χο.ἐλθεῖν τιν’ αὐτοῖς δαίμον’ ἢ βροτῶν τινα—
120 Ηλ.πότερα δικαστὴν ἢ δικηφόρον λέγεις;
unit_40.1 Χο.ἁπλωστὶ φράζους’, ὅστις ἀνταποκτενεῖ.
unit_40.2 Ηλ.καὶ ταῦτά μοὐστὶν εὐσεβῆ θεῶν πάρα;
unit_40.3 Χο.πῶς δ’ οὔ, τὸν ἐχθρὸν ἀνταμείβεσθαι κακοῖς;
165 Ηλ.κῆρυξ μέγιστε τῶν ἄνω τε καὶ κάτω,
124 〈ἄρηξον,〉 Ἑρμῆ χθόνιε, κηρύξας ἐμοὶ
125.1 τοὺς γῆς ἔνερθε δαίμονας κλύειν ἐμὰς
125.2 εὐχάς, πατρῴων δωμάτων ἐπισκόπους,
125.3 καὶ γαῖαν αὐτήν, ἣ τὰ πάντα τίκτεται
125.4 θρέψασά τ’ αὖθις τῶνδε κῦμα λαμβάνει·
125.5 κἀγὼ χέουσα τάσδε χέρνιβας νεκροῖς
130.1 λέγω καλοῦσα πατέρ’· Ἐποίκτιρόν τ’ ἐμέ,
130.2 φίλον τ’ Ὀρέστην φῶς ἄναψον ἐν δόμοις.
130.3 πεπραμένοι γὰρ νῦν γέ πως ἀλώμεθα
130.4 πρὸς τῆς τεκούσης, ἄνδρα δ’ ἀντηλλάξατο
130.5 Αἴγισθον, ὅσπερ σοῦ φόνου μεταίτιος.
135.1 κἀγὼ μὲν ἀντίδουλος· ἐκ δὲ χρημάτων
135.2 φεύγων Ὀρέστης ἐστίν, οἱ δ’ ὑπερκόπως
135.3 ἐν τοῖσι σοῖς πόνοισι χλίουσιν μέγα.
135.4

ἐλθεῖν δ’ Ὀρέστην δεῦρο σὺν τύχῃ τινὶ
135.5 κατεύχομαί σοι, καὶ σὺ κλῦθί μου, πάτερ·
140.1 αὐτῇ τέ μοι δὸς σωφρονεστέραν πολὺ
140.2 μητρὸς γενέσθαι χεῖρά τ’ εὐσεβεστέραν.
140.3 ἡμῖν μὲν εὐχὰς τάσδε, τοῖς δ’ ἐναντίοις
140.4 λέγω φανῆναί σου, πάτερ, τιμάορον,
140.5 καὶ τοὺς κτανόντας ἀντικατθανεῖν δίκῃ.
145.1 ταῦτ’ ἐν μέσῳ τίθημι τῆς κακῆς ἀρᾶς,
145.2 κείνοις λέγουσα τήνδε τὴν κακὴν ἀράν·
145.3 ἡμῖν δὲ πομπὸς ἴσθι τῶν ἐσθλῶν ἄνω,
145.4 σὺν θεοῖσι καὶ γῇ καὶ δίκῃ νικηφόρῳ.
145.5 τοιαῖσδ’ ἐπ’ εὐχαῖς τάσδ’ ἐπισπένδω χοάς.
unit_48.1 ὑμᾶς δὲ κωκυτοῖς’ ἐπανθίζειν νόμος,
unit_48.2 παιᾶνα τοῦ θανόντος ἐξαυδωμένας.
151.1 Χο.ἵετε δάκρυ καναχὲς ὀλόμενον
151.2 ὀλομένῳ δεσπότᾳ,
151.3 πρὸς ἔρυμα τόδε κεδνῶν κακῶν τ’
155.1 ἀπότροπον, ἄγος ἀπεύχετον,
155.2 κεχυμένων χοᾶν. κλύε δέ μοι, σέβας,
155.3 κλύ’, ὦ δέσποτ’, ἐξ ἀμαυρᾶς φρενός.
155.4 ὀτοτοτοτοτοτοτοῖ,
160.1 ἰώ, τίς δορυσθενὴς 〈εἶσ’〉 ἀνήρ,
160.2 ἀναλυτὴρ δόμων, Σκύθην τ’ ἐν χεροῖν
160.3 [παλίντον’ ἐν ἔργῳ βέλη] πιπάλλων Ἄρη
160.4 σχέδιά τ’ αὐτόκωπα νωμῶν βέλη;
163 Ηλ.ἔχει μὲν ἤδη γαπότους χοὰς πατήρ·
166.1 νέου δὲ μύθου τοῦδε κοινωνήσατε.
166.2 Χο.λέγοις ἄν· ὀρχεῖται δὲ καρδία φόβῳ·
166.3 Ηλ.ὁρῶ τομαῖον τόνδε βόστρυχον τάφῳ.
166.4 Χο.τίνος ποτ’ ἀνδρὸς ἢ βαθυζώνου κόρης;
170.1 Ηλ.εὐξύμβολον τόδ’ ἐστὶ παντὶ δοξάσαι.
170.2 Χο.πῶς οὖν παλαιὰ παρὰ νεωτέρας μάθω;
170.3 Ηλ.οὐκ ἔστιν ὅστις πλὴν ἐμοῦ κείραιτό νιν.
170.4 Χο.ἐχθροὶ γὰρ οἷς προσῆκε πενθῆσαι τριχί.
170.5 Ηλ.καὶ μὴν ὅδ’ ἐστὶ κάρτ’ ἰδεῖν ὁμόπτερος—
175.1 Χο.ποίαις ἐθείραις; τοῦτο γὰρ θέλω μαθεῖν.
175.2 Ηλ.αὐτοῖσιν ἡμῖν κάρτα προσφερὴς ἰδεῖν.
175.3 Χο.μῶν οὖν Ὀρέστου κρύβδα δῶρον ἦν τόδε;
175.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ηλ.μάλιστ’ ἐκείνου βοστρύχοις προσείδεται.
175.5 Χο.καὶ πῶς ἐκεῖνος δεῦρ’ ἐτόλμησεν μολεῖν;
180.1 Ηλ.ἔπεμψε χαίτην κουρίμην χάριν πατρός.
180.2 Χο.οὐχ ἧσσον εὐδάκρυτά μοι λέγεις τάδε,
180.3 εἰ τῆσδε χώρας μήποτε ψαύσει ποδί.
180.4 Ηλ.κἀμοὶ προσέστη καρδίᾳ κλυδώνιον
180.5 χολῆς, ἐπαίθην δ’ ὡς διανταίῳ βέλει·
185.1 ἐξ ὀμμάτων δὲ δίψιοι πίπτουσί μοι
185.2 σταγόνες ἄφαρκτοι δυσχίμου πλημυρίδος,
185.3 πλόκαμον ἰδούσῃ τόνδε· πῶς γὰρ ἐλπίσω
185.4 ἀστῶν τιν’ ἄλλον τῆσδε δεσπόζειν φόβης;
185.5 ἀλλ’ οὐδὲ μήν νιν ἡ κτανοῦς’ ἐκείρατο,
190.1 ἐμὴ δὲ μήτηρ, οὐδαμῶς ἐπώνυμον
190.2 φρόνημα παισὶ δύσθεον πεπαμένη.
190.3 ἐγὼ δ’ ὅπως μὲν ἄντικρυς τάδ’ αἰνέσω,
190.4 εἶναι τόδ’ ἀγλάισμά μοι τοῦ φιλτάτου
190.5 βροτῶν Ὀρέστου—σαίνομαι δ’ ὑπ’ ἐλπίδος.
195 φεῦ.
195.1 εἴθ’ εἶχε φωνὴν ἔμφρον’ ἀγγέλου δίκην,
195.2 ὅπως δίφροντις οὖσα μὴ ’κινυσσόμην,
unit_61.1 ἀλλ’ ἢ σάφ’ ᾔνει τόνδ’ ἀποπτύσαι πλόκον,
unit_61.2 εἴπερ γ’ ἀπ’ ἐχθροῦ κρατὸς ἦν τετμημένος,
unit_61.3 ἢ ξυγγενὴς ὢν εἶχε συμπενθεῖν ἐμοί,
unit_62.1 ἄγαλμα τύμβου τοῦδε καὶ τιμὴν πατρός.
unit_62.2 ἀλλ’ εἰδότας μὲν τοὺς θεοὺς καλούμεθα,
unit_62.3 οἵοισιν ἐν χειμῶσι ναυτίλων δίκην
unit_62.4 στροβούμεθ’· εἰ δὲ χρὴ τυχεῖν σωτηρίας,
unit_62.5 σμικροῦ γένοιτ’ ἂν σπέρματος μέγας πυθμήν.
205.1 καὶ μὴν στίβοι γε, δεύτερον τεκμήριον,
205.2 ποδῶν ὅμοιοι τοῖς τ’ ἐμοῖσιν ἐμφερεῖς.
205.3 καὶ γὰρ δύ’ ἐστὸν τώδε περιγραφὰ ποδοῖν,
205.4 αὐτοῦ τ’ ἐκείνου καὶ συνεμπόρου τινός.
205.5 πτέρναι τενόντων θ’ ὑπογραφαὶ μετρούμεναι
210.1 εἰς ταὐτὸ συμβαίνουσι τοῖς ἐμοῖς στίβοις.
210.2 πάρεστι δ’ ὠδὶς καὶ φρενῶν καταφθορά.
211 ΟΡΕΣΤΗΣ
212.1 εὔχου τὰ λοιπά, τοῖς θεοῖς τελεσφόρους
212.2 εὐχὰς ἐπαγγέλλουσα, τυγχάνειν καλῶς.
212.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ηλ.ἐπεὶ τί νῦν ἕκατι δαιμόνων κυρῶ;
Ορ.εἰς ὄψιν ἥκεις ὧνπερ ἐξηύχου πάλαι.
Ηλ.καὶ τίνα σύνοισθά μοι καλουμένῃ βροτῶν;
Ορ.σύνοιδ’ Ὀρέστην πολλά ς’ ἐκπαγλουμένην.
Ηλ.καὶ πρὸς τί δῆτα τυγχάνω κατευγμάτων;
Ορ.ὅδ’ εἰμί· μὴ μάτευ’ ἐμοῦ μᾶλλον φίλον.
Ηλ.ἀλλ’ ἦ δόλον τιν’, ὦ ξέν’, ἀμφί μοι πλέκεις;
Ορ.αὐτὸς κατ’ αὑτοῦ τἄρα μηχανορραφῶ.
Ηλ.ἀλλ’ ἐν κακοῖσι τοῖς ἐμοῖς γελᾶν θέλεις;
Ορ.κἀν τοῖς ἐμοῖς ἄρ’, εἴπερ ἔν γε τοῖσι σοῖς.
Ηλ.ὡς ὄντ’ Ὀρέστην τἄρ’ ἐγώ σε προὐννέπω;
Ορ.αὐτὸν μὲν οὖν ὁρῶσα δυσμαθεῖς ἐμέ·
κουρὰν δ’ ἰδοῦσα τήνδε κηδείου τριχὸς
ἰχνοσκοποῦσά τ’ ἐν στίβοισι τοῖς ἐμοῖς
ἀνεπτερώθης κἀδόκεις ὁρᾶν ἐμέ.
σκέψαι, τομῇ προσθεῖσα βόστρυχον τριχός,
σαυτῆς ἀδελφοῦ σύμμετρον τῷ σῷ κάρᾳ.
ἰδοῦ δ’ ὕφασμα τοῦτο, σῆς ἔργον χερός,
σπάθης τε πληγάς, ἓν δὲ θήρειον γραφήν—
ἔνδον γενοῦ, χαρᾷ δὲ μὴ ’κπλαγῇς φρένας·
τοὺς φιλτάτους γὰρ οἶδα νῷν ὄντας πικρούς.
Ηλ.ὦ φίλτατον μέλημα δώμασιν πατρός,
δακρυτὸς ἐλπὶς σπέρματος σωτηρίου,
ἀλκῇ πεποιθὼς δῶμ’ ἀνακτήσῃ πατρός.
ὦ τερπνὸν ὄμμα τέσσαρας μοίρας ἔχον
ἐμοί, προσαυδᾶν δ’ ἔστ’ ἀναγκαίως ἔχον
πατέρα σε, καὶ τὸ μητρὸς ἐς σέ μοι ῥέπει
στέργηθρον—ἡ δὲ πανδίκως ἐχθαίρεται—
καὶ τῆς τυθείσης νηλεῶς ὁμοσπόρου·
πιστὸς δ’ ἀδελφὸς ἦσθ’, ἐμοὶ σέβας φέρων
μόνος· . . . . . .
〈μόνον〉 Κράτος τε καὶ Δίκη σὺν τῷ τρίτῳ
πάντων μεγίστῳ Ζηνὶ συγγένοιτό μοι.
Ορ.Ζεῦ Ζεῦ, θεωρὸς τῶνδε πραγμάτων γενοῦ·
ἰδοῦ δὲ γένναν εὖνιν αἰετοῦ πατρός,
θανόντος ἐν πλεκταῖσι καὶ σπειράμασιν
δεινῆς ἐχίδνης. τοὺς δ’ ἀπωρφανισμένους
νῆστις πιέζει λιμός· οὐ γὰρ ἐντελεῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θήραν πατρῴαν προσφέρειν σκηνήμασιν.
οὕτω δὲ κἀμὲ τήνδε τ’, Ἠλέκτραν λέγω,
ἰδεῖν πάρεστί σοι, πατροστερῆ γόνον,
ἄμφω φυγὴν ἔχοντε τὴν αὐτὴν δόμων.
καίτοι θυτῆρος καί σε τιμῶντος μέγα
πατρὸς νεοσσοὺς τούσδ’ ἀποφθείρας πόθεν
ἕξεις ὁμοίας χειρὸς εὔθοινον γέρας;
οὔτ’ αἰετοῦ γένεθλ’ ἀποφθείρας, πάλιν
πέμπειν ἔχοις ἂν σήματ’ εὐπειθῆ βροτοῖς·
οὔτ’ ἀρχικός σοι πᾶς ὅδ’ αὐανθεὶς πυθμὴν
βωμοῖς ἀρήξει βουθύτοις ἐν ἤμασιν.
κόμιζ’, ἀπὸ σμικροῦ δ’ ἂν ἄρειας μέγαν
δόμον, δοκοῦντα κάρτα νῦν πεπτωκέναι.
Χο.ὦ παῖδες, ὦ σωτῆρες ἑστίας πατρός,
σιγᾶθ’, ὅπως μὴ πεύσεταί τις, ὦ τέκνα,
γλώσσης χάριν δὲ πάντ’ ἀπαγγελεῖ τάδε
πρὸς τοὺς κρατοῦντας· οὓς ἴδοιμ’ ἐγώ ποτε
θανόντας ἐν κηκῖδι πισσήρει φλογός.
Ορ.οὔτοι προδώσει Λοξίου μεγασθενὴς
χρησμὸς κελεύων τόνδε κίνδυνον περᾶν,
κἀξορθιάζων πολλὰ καὶ δυσχειμέρους
ἄτας ὑφ’ ἧπαρ θερμὸν ἐξαυδώμενος,
εἰ μὴ μέτειμι τοῦ πατρὸς τοὺς αἰτίους
τρόπον τὸν αὐτόν, ἀνταποκτεῖναι λέγων,
ἀποχρημάτοισι ζημίαις ταυρούμενον
αὐτὸν δ’ ἔφασκε τῇ φίλῃ ψυχῇ τάδε
τείσειν μ’ ἔχοντα πολλὰ δυστερπῆ κακά.
τὰ μὲν γὰρ ἐκ γῆς δυσφρόνων μηνίματα
βροτοῖς πιφαύσκων εἶπε τάσδε νῷν νόσους,
σαρκῶν ἐπαμβατῆρας ἀγρίαις γνάθοις,
λιχῆνας ἐξέσθοντας ἀρχαίαν φύσιν·
λευκὰς δὲ κόρσας τῇδ’ ἐπαντέλλειν νόσῳ·
ἄλλας τ’ ἐφώνει προσβολὰς Ἐρινύων
ἐκ τῶν πατρῴων αἱμάτων τελουμένας·
. . . . . . .
ὁρῶντα λαμπρόν, ἐν σκότῳ νωμῶντ’ ὀφρύν,
τὸ γὰρ σκοτεινὸν τῶν ἐνερτέρων βέλος
ἐκ προστροπαίων ἐν γένει πεπτωκότων,

καὶ λύσσα καὶ μάταιος ἐκ νυκτῶν φόβος
κινεῖ ταράσσει καὶ διωκάθει πόλεως
χαλκηλάτῳ πλάστιγγι λυμανθὲν δέμας.
καὶ τοῖς τοιούτοις οὔτε κρατῆρος μέρος
εἶναι μετασχεῖν, οὐ φιλοσπόνδου λιβός,
βωμῶν τ’ ἀπείργειν οὐχ ὁρωμένην πατρὸς
μῆνιν· δέχεσθαι 〈δ’〉 οὔτε συλλύειν τινά,
πάντων δ’ ἄτιμον κἄφιλον θνῄσκειν χρόνῳ
κακῶς ταριχευθέντα παμφθάρτῳ μόρῳ.
τοιοῖσδε χρησμοῖς ἆρα χρὴ πεποιθέναι;
κεἰ μὴ πέποιθα, τοὔργον ἔστ’ ἐργαστέον.
πολλοὶ γὰρ εἰς ἓν συμπίτνουσιν ἵμεροι,
θεοῦ τ’ ἐφετμαὶ καὶ πατρὸς πένθος μέγα,
καὶ πρὸς πιέζει χρημάτων ἀχηνία,
τὸ μὴ πολίτας εὐκλεεστάτους βροτῶν,
Τροίας ἀναστατῆρας εὐδόξῳ φρενί,
δυοῖν γυναικοῖν ὧδ’ ὑπηκόους πέλειν.
θήλεια γὰρ φρήν· εἰ δὲ μή, τάχ’ εἴσεται.
Χο.ἀλλ’ ὦ μεγάλαι Μοῖραι, Διόθεν
τῇδε τελευτᾶν,
ᾗ τὸ δίκαιον μεταβαίνει.
ἀντὶ μὲν ἐχθρᾶς γλώσσης ἐχθρὰ
γλῶσσα τελείσθω· τοὐφειλόμενον
πράσσουσα Δίκη μέγ’ ἀυτεῖ·
ἀντὶ δὲ πληγῆς φονίας φονίαν
πληγὴν τινέτω. δράσαντα παθεῖν,
τριγέρων μῦθος τάδε φωνεῖ.
Ορ.ὦ πάτερ αἰνόπατερ, τί σοι[στρ. α.
φάμενος ἢ τί ῥέξας
τύχοιμ’ ἂν ἕκαθεν οὐρίσας,
ἔνθα σ’ ἔχουσιν εὐναί,
σκότῳ φάος ἀντίμοιρον;
χάριτες δ’ ὁμοίως
κέκληνται γόος εὐκλεὴς
προσθοδόμοις Ἀτρείδαις.
Χο.τέκνον, φρόνημα τοῦ θανόντος οὐ δαμά-[στρ. β.
ζει πυρὸς μαλερὰ γνάθος,
φαίνει δ’ ὕστερον ὀργάς·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὀτοτύζεται δ’ ὁ θνῄσκων,
unit_97.2 ἀναφαίνεται δ’ ὁ βλάπτων.
unit_97.3 πατέρων δὲ καὶ τεκόντων
330.1 γόος ἔνδικος ματεύει,
330.2 τὸ πᾶν ἀμφιλαφὴς ταραχθείς.
331.1 Ηλ.κλῦθί νυν, ὦ πάτερ, ἐν μέρει[ἀντ. α.
331.2 πολυδάκρυτα πένθη.
331.3 δίπαις τοί ς’ ἐπιτύμβιος
335.1 θρῆνος ἀναστενάζει.
335.2 τάφος δ’ ἱκέτας δέδεκται
335.3 φυγάδας θ’ ὁμοίως.
335.4 τί τῶνδ’ εὖ, τί δ’ ἄτερ κακῶν;
335.5 οὐκ ἀτρίακτος ἄτα;
340.1 Χο.ἀλλ’ ἔτ’ ἂν ἐκ τῶνδε θεὸς χρῄζων
340.2 θείη κελάδους εὐφθογγοτέρους·
340.3 ἀντὶ δὲ θρήνων ἐπιτυμβιδίων
340.4 παιὼν μελάθροις ἐν βασιλείοις
340.5 νεοκρᾶτα φίλον κομίσειεν.
345.1 Ορ.εἰ γὰρ ὑπ’ Ἰλίῳ[στρ. γ.
345.2 πρός τινος Λυκίων, πάτερ,
345.3 δορίτμητος κατηναρίσθης·
345.4 λιπὼν ἂν εὔκλειαν ἐν δόμοισιν
345.5 τέκνων τ’ ἐν κελεύθοις
unit_103.1 ἐπιστρεπτὸν αἰῶ
unit_103.2 κτίσσας πολύχωστον ἂν εἶχες
unit_103.3 τάφον διαποντίου γᾶς,
unit_103.4 δώμασιν εὐφόρητον—
353 Χο.φίλος φίλοισι τοῖς ἐκεῖ καλῶς θανοῦ-[ἀντ. β.
355.1 σιν, κατὰ χθονὸς ἐμπρέπων
355.2 σεμνότιμος ἀνάκτωρ,
355.3 πρόπολός τε τῶν μεγίστων
355.4 χθονίων ἐκεῖ τυράννων·
360.1 βασιλεὺς γὰρ ἦσθ’, ὄφρ’ ἔζης,
360.2 μόριμον λάχος πιπλάντων
360.3 χεροῖν πεισιβρότῳ τε βάκτρῳ.
362.1 Ηλ.μηδ’ ὑπὸ Τρωίας[ἀντ. γ.
362.2 τείχεσι φθίμενος, πάτερ,
365.1 μετ’ ἄλλῳ δουρικμῆτι λαῷ
365.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παρὰ Σκαμάνδρου πόρον τεθάφθαι·
365.3 πάρος δ’ οἱ κτανόντες
365.4 νιν οὕτως δαμῆναι,
365.5 ⟨ἵν’ ἦν⟩ θανατηφόρον αἶσαν
370.1 πρόσω τινὰ πυνθάνεσθαι
370.2 τῶνδε πόνων ἄπειρον.
371.1 Χο.ταῦτα μέν, ὦ παῖ, κρείσσονα χρυσοῦ,
371.2 μεγάλης δὲ τύχης καὶ ὑπερβορέου
unit_111 μείζονα φωνεῖς· δύνασαι γάρ.
375.1 ἀλλὰ διπλῆς γὰρ τῆσδε μαράγνης
375.2 δοῦπος ἱκνεῖται· τῶν μὲν ἀρωγοὶ
375.3 κατὰ γῆς ἤδη, τῶν δὲ κρατούντων
375.4 χέρες οὐχ ὅσιαι στυγερῶν τούτων·
375.5 παισὶ δὲ μᾶλλον γεγένηται.
380.1 Ορ.τοῦτο διαμπερὲς οὖς[στρ. δ.
380.2 ἵκεθ’ ἅπερ τε βέλος.
380.3 Ζεῦ Ζεῦ, κάτωθεν ἀμπέμπων
380.4 ὑστερόποινον ἄταν,
380.5 βροτῶν τλάμονι καὶ πανούργῳ
385 χειρί, τοκεῦσι δ’ ὅμως τελεῖται.
385 Χο.ἐφυμνῆσαι γένοιτό μοι πυκά-[στρ. ε.
386.1 εντ’ ὀλολυγμὸν ἀνδρὸς
386.2 θεινομένου, γυναικός τ’
386.3 ὀλλυμένας· τί γὰρ κεύ-
386.4 θω φρενὸς θεῖον ἔμπας
390.1 ποτᾶται, πάροιθεν δὲ πρῴρας
390.2 δριμὺς ἄηται κραδίας
390.3 θυμός, ἔγκοτον στύγος.
394 Ηλ.καὶ πότ’ ἂν ἀμφιθαλὴς[ἀντ. δ.
395.1 Ζεὺς ἐπὶ χεῖρα βάλοι,
395.2 φεῦ φεῦ, κάρανα δαΐξας;
unit_120.1 πιστὰ γένοιτο χώρᾳ.
unit_120.2 δίκαν [δ’] ἐξ ἀδίκων ἀπαιτῶ.
unit_120.3 κλῦτε δὲ Γᾶ χθονίων τε τιμαί.
unit_121.1 Χο.ἀλλὰ νόμος μὲν φονίας σταγόνας
unit_121.2 χυμένας ἐς πέδον ἄλλο προσαιτεῖν
unit_121.3 αἷμα· βοᾷ γὰρ λοιγὸς Ἐρινὺν
unit_121.4 παρὰ τῶν πρότερον φθιμένων ἄτην
unit_121.5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἑτέραν ἐπάγουσαν ἐπ’ ἄτῃ.
405.1 Ορ.πόποι δᾶ νερτέρων τυραννίδες,[στρ. ζ.
405.2 ἴδετε πολυκρατεῖς ἀραὶ φθινομένων,
405.3 ἴδεσθ’ Ἀτρειδᾶν τὰ λοίπ’ ἀμηχάνως
405.4 ἔχοντα καὶ δωμάτων ἄτιμα. πᾷ
405.5 τις τράποιτ’ ἄν, ὦ Ζεῦ;
410.1 Χο.πέπαλται δαὖτέ μοι φίλον κέαρ[ἀντ. ε.
410.2 τόνδε κλύουσαν οἶκτον.
410.3 καὶ τότε μὲν δύσελπις,
410.4 σπλάγχνα δέ μοι κελαινοῦ-
410.5 ται πρὸς ἔπος κλυούσᾳ.
415.1 ὅταν δ’ αὖτ’ ἐπαλκῆ ς’ ὁρῶ, ῥεῖ’
415.2 ⟨ἐλπίσ⟩ ἀπέστασεν ἄχος
unit_125.1 πρὸς τὸ φανεῖσθαι μοι καλῶς.
unit_125.2 Ηλ.τί δ’ ἂν φάντες τύχοιμεν; ἢ τάπερ[ἀντ. ζ.
unit_125.3 πάθομεν ἄχεα πρός γε τῶν τεκομένων;
420.1 πάρεστι σαίνειν, τὰ δ’ οὔτι θέλγεται.
420.2 λύκος γὰρ ὥστ’ ὠμόφρων ἄσαντος ἐκ
420.3 ματρός ἐστι θυμός.
422.1 Χο.ἔκοψα κομμὸν Ἄριον ἔν τε Κισσίας[στρ. η.
422.2 νόμοις ἰηλεμιστρίας,
425.1 ἀπρικτόπληκτα πολυπάλακτα δ’ ἦν ἰδεῖν
425.2 ἐπασσυτεροτριβῆ τὰ χερὸς ὀρέγματα,
425.3 ἄνωθεν ἀνέκαθεν, κτύπῳ δ’ ἐπιρροθεῖ
425.4 κροτητὸν ἀμὸν καὶ πανάθλιον κάρα.
428 Ηλ.ἰὼ ἰὼ δαΐα[στρ. θ.
430.1 πάντολμε μᾶτερ, δαΐαις ἐν ἐκφοραῖς
430.2 ἄνευ πολιτᾶν ἄνακτ’,
430.3 ἄνευ δὲ πενθημάτων
430.4 ἔτλης ἀνοίμωκτον ἄνδρα θάψαι.
433 Ορ.τὸ πᾶν ἀτίμως ἔλεξας, οἴμοι.[στρ. ι.
435.1 πατρὸς δ’ ἀτίμωσιν ἆρα τείσει,
435.2 ἕκατι μὲν δαιμόνων,
435.3 ἕκατι δ’ ἀμᾶν χερῶν.
unit_133.1 ἔπειτ’ ἐγὼ νοσφίσας ὀλοίμαν.
unit_133.2 Χο.ἐμασχαλίσθη δέ γ’, ὡς τόδ’ εἰδῇς,[ἀντ. ι.
440.1 ἔπρασσε δ’ ἅπερ νιν ὧδε θάπτει,
440.2 μόρον κτίσαι μωμένα
440.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄφερτον αἰῶνι σῷ.
440.4 κλύεις πατρῴους δύας ἀτίμους.
443 Ηλ.λέγεις πατρῷον μόρον· ἐγὼ δ’ ἀπεστάτουν[ἀντ. η.
445.1 ἄτιμος, οὐδὲν ἀξία.
445.2 μυχῷ δ’ ἄφερκτος πολυσινοῦς κυνὸς δίκαν
445.3 ἑτοιμότερα γέλωτος ἀνέφερον λίβη,
449 χέουσα πολύδακρυν γόον κεκρυμμένα.
unit_138 τοιαῦτ’ ἀκούων ἐν φρεσὶν γράφου, 〈πάτερ.
unit_139.1 Χο.γράφου·〉 δι’ ὤτων δὲ συν-[ἀντ. θ.
unit_139.2 τέτραινε μῦθον ἡσύχῳ φρενῶν βάσει.
unit_139.3 τὰ μὲν γὰρ οὕτως ἔχει,
unit_139.4 τὰ δ’ αὐτὸς ὀργᾷ μαθεῖν.
455 πρέπει δ’ ἀκάμπτῳ μένει καθήκειν.
455.1 Ορ.σέ τοι λέγω, ξυγγενοῦ, πάτερ, φίλοις.[στρ. κ.
455.2 Ηλ.ἐγὼ δ’ ἐπιφθέγγομαι κεκλαυμένα.
455.3 Χο.στάσις δὲ πάγκοινος ἅδ’ ἐπιρροθεῖ·
455.4 ἄκουσον ἐς φάος μολών,
460.1 ξὺν δὲ γενοῦ πρὸς ἐχθρούς.
460.2 Ορ.Ἄρης Ἄρει ξυμβαλεῖ, Δίκᾳ Δίκα.[ἀντ. κ.
460.3 Ηλ.ἰὼ θεοί, κραίνετ’ ἐνδίκως 〈λιτάσ〉.
460.4 Χο.τρόμος μ’ ὑφέρπει κλύουσαν εὐγμάτων.
460.5 τὸ μόρσιμον μένει πάλαι,
465 εὐχομένοις δ’ ἂν ἔλθοι.
465.1 —ὦ πόνος ἐγγενὴς[στρ. λ.
465.2 καὶ παράμουσος ἄτας
465.3 αἱματόεσσα πλαγά.
465.4 ἰὼ δύστον’ ἄφερτα κήδη·
470 ἰὼ δυσκατάπαυστον ἄλγος.
470.1 —δώμασιν ἔμμοτον[ἀντ. λ.
470.2 τῶνδ’ ἄκος, οὐδ’ ἀπ’ ἄλλων
470.3 ἔκτοθεν, ἀλλ’ ἀπ’ αὐτῶν,
470.4 δι’ ὠμὰν ἔριν αἱματηράν.
475 θεῶν 〈τῶν〉 κατὰ γᾶς ὅδ’ ὕμνος.
475.1 —ἀλλὰ κλύοντες, μάκαρες χθόνιοι,
475.2 τῆσδε κατευχῆς πέμπετ’ ἀρωγὴν
475.3 παισὶν προφρόνως ἐπὶ νίκῃ.
478 Ορ.πάτερ, τρόποισιν οὐ τυραννικοῖς θανών,
480.1 αἰτουμένῳ μοι δὸς κράτος τῶν σῶν δόμων.
480.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ηλ.κἀγώ, πάτερ, τοιάδε· σοῦ χρεία μ’ ἔχει
φυγεῖν μέγαν προσθεῖσαν Αἰγίσθῳ . . .
Ορ.οὕτω γὰρ ἄν σοι δαῖτες ἔννομοι βροτῶν
κτιζοίατ’· εἰ δὲ μή, παρ’ εὐδείπνοις ἔσῃ
ἄτιμος ἐμπύροισι κνισωτοῖς χθονός.
Ηλ.κἀγὼ χοάς σοι τῆς ἐμῆς παγκληρίας
οἴσω πατρῴων ἐκ δόμων γαμηλίους·
πάντων δὲ πρῶτον τόνδε πρεσβεύσω τάφον.
Ορ.ὦ γαῖ’, ἄνες μοι πατέρ’ ἐποπτεῦσαι μάχην.
Ηλ.ὦ Περσέφασσα, δὸς δέ γ’ εὔμορφον κράτος.
Ορ.μέμνησο λουτρῶν οἷς ἐνοσφίσθης, πάτερ.
Ηλ.μέμνησο δ’ ἀμφίβληστρον ὡς ἐκαίνισαν—
Ορ.πέδαις δ’ ἀχαλκεύτοις ἐθηρεύθης, πάτερ—
Ηλ.αἰσχρῶς τε βουλευτοῖσιν ἐν καλύμμασιν.
Ορ.ἆρ’ ἐξεγείρῃ τοῖσδ’ ὀνείδεσιν, πάτερ;
Ηλ.ἆρ’ ὀρθὸν αἴρεις φίλτατον τὸ σὸν κάρα;
Ορ.ἤτοι δίκην ἴαλλε σύμμαχον φίλοις,
ἢ τὰς ὁμοίας ἀντίδος λαβὰς λαβεῖν,
εἴπερ κρατηθείς γ’ ἀντινικῆσαι θέλεις.
Ηλ.καὶ τῆσδ’ ἄκουσον λοισθίου βοῆς, πάτερ·
ἰδὼν νεοσσοὺς τούσδ’ ἐφημένους τάφῳ,
οἴκτιρε θῆλυν ἄρσενός θ’ ὁμοῦ γόον.
Ορ.καὶ μὴ ’ξαλείψῃς σπέρμα Πελοπιδῶν τόδε,
οὕτω γὰρ οὐ τέθνηκας οὐδέ περ θανών.
[παῖδες γὰρ ἀνδρὶ κληδόνες σωτήριοι
θανόντι· φελλοὶ δ’ ὣς ἄγουσι δίκτυον,
τὸν ἐκ βυθοῦ κλωστῆρα σῴζοντες λίνου.]
Ηλ.ἄκου’, ὑπὲρ σοῦ τοιάδ’ ἔστ’ ὀδύρματα,
αὐτὸς δὲ σῴζῃ τόνδε τιμήσας λόγον.
Χο.καὶ μὴν ἀμεμφῆ τόνδ’ ἐτείνατον λόγον,
τίμημα τύμβου τῆς ἀνοιμώκτου τύχης.
τὰ δ’ ἄλλ’, ἐπειδὴ δρᾶν κατώρθωσαι φρενί,
ἔρδοις ἂν ἤδη δαίμονος πειρώμενος.
Ορ.ἔσται· πυθέσθαι δ’ οὐδέν ἐστ’ ἔξω δρόμου,
πόθεν χοὰς ἔπεμψεν, ἐκ τίνος λόγου
μεθύστερον τιμῶς’ ἀνήκεστον πάθος;
θανόντι δ’ οὐ φρονοῦντι δειλαία χάρις
ἐπέμπετ’· οὐκ ἔχοιμ’ ἂν εἰκάσαι τάδε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὰ δῶρα, μείω δ’ ἐστὶ τῆς ἁμαρτίας.
520.1 τὰ πάντα γάρ τις ἐκχέας ἀνθ’ αἵματος
520.2 ἑνός—μάτην ὁ μόχθος· ὧδ’ ἔχει λόγος.
520.3 θέλοντι δ’, εἴπερ οἶσθ’, ἐμοὶ φράσον τάδε.
520.4 Χο.οἶδ’, ὦ τέκνον, παρῆ γάρ· ἔκ τ’ ὀνειράτων
520.5 καὶ νυκτιπλάγκτων δειμάτων πεπαλμένη
525.1 χοὰς ἔπεμψε τάσδε δύσθεος γυνή.
525.2 Ορ.ἦ καὶ πέπυσθε τοὔναρ, ὥστ’ ὀρθῶς φράσαι;
525.3 Χο.τεκεῖν δράκοντ’ ἔδοξεν, ὡς αὐτὴ λέγει.
525.4 Ορ.καὶ ποῖ τελευτᾷ καὶ καρανοῦται λόγος;
525.5 Χο.ἐν σπαργάνοισι παιδὸς ὁρμίσαι δίκην.
530.1 Ορ.τίνος βορᾶς χρῄζοντα, νεογενὲς δάκος;
530.2 Χο.αὐτὴ προσέσχε μαστὸν ἐν τὠνείρατι.
530.3 Ορ.καὶ πῶς ἄτρωτον οὖθαρ ἦν ὑπὸ στύγους;
530.4 Χο.ὥστ’ ἐν γάλακτι θρόμβον αἵματος σπάσαι.
unit_163 Ορ.οὔτοι μάταιον· ἀνδρὸς ὄψανον πέλει.
535.1 Χο.ἡ δ’ ἐξ ὕπνου κέκλαγεν ἐπτοημένη.
535.2 πολλοὶ δ’ ἀνῆθον, ἐκτυφλωθέντες σκότῳ,
535.3 λαμπτῆρες ἐν δόμοισι δεσποίνης χάριν·
535.4 πέμπει δ’ ἔπειτα τάσδε κηδείους χοάς,
535.5 ἄκος τομαῖον ἐλπίσασα πημάτων.
540.1 Ορ.ἀλλ’ εὔχομαι γῇ τῇδε καὶ πατρὸς τάφῳ
540.2 τοὔνειρον εἶναι τοῦτ’ ἐμοὶ τελεσφόρον.
540.3 κρίνω δέ τοί νιν ὥστε συγκόλλως ἔχειν.
540.4 εἰ γὰρ τὸν αὐτὸν χῶρον ἐκλιπὼν ἐμοὶ
540.5 οὕφις ἐπ’ ἀμὰ σπάργαν’ ἠπλείζετο,
545.1 καὶ μαστὸν ἀμφέχασκ’ ἐμὸν θρεπτήριον,
545.2 θρόμβῳ τ’ ἔμειξεν αἵματος φίλον γάλα,
545.3 ἡ δ’ ἀμφὶ τάρβει τῷδ’ ἐπῴμωξεν πάθει,
545.4 δεῖ τοί νιν, ὡς ἔθρεψεν ἔκπαγλον τέρας,
545.5 θανεῖν βιαίως· ἐκδρακοντωθεὶς δ’ ἐγὼ
unit_167.1 κτείνω νιν, ὡς τοὔνειρον ἐννέπει τόδε.
unit_167.2 Χο.τερασκόπον δὴ τῶνδέ ς’ αἱροῦμαι πέρι,
unit_167.3 γένοιτο δ’ οὕτως. τἄλλα δ’ ἐξηγοῦ φίλοις,
unit_167.4 τοὺς μέν τι ποιεῖν, τοὺς δὲ μή τι δρᾶν λέγων.
unit_167.5 Ορ.ἁπλοῦς ὁ μῦθος· τήνδε μὲν στείχειν ἔσω,
555.1 αἰνῶ δὲ κρύπτειν τάσδε συνθήκας ἐμάς,
555.2 ὡς ἂν δόλῳ κτείναντες ἄνδρα τίμιον
555.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δόλῳ γε καὶ ληφθῶσιν, ἐν ταὐτῷ βρόχῳ
unit_169.1 θανόντες, ᾗ καὶ Λοξίας ἐφήμισεν,
unit_169.2 ἄναξ Ἀπόλλων, μάντις ἀψευδὴς τὸ πρίν.
560.1 ξένῳ γὰρ εἰκώς, παντελῆ σαγὴν ἔχων,
560.2 ἥξω σὺν ἀνδρὶ τῷδ’ ἐφ’ ἑρκείους πύλας
560.3 Πυλάδῃ, ξένος τε καὶ δορύξενος δόμων.
560.4 ἄμφω δὲ φωνὴν ἥσομεν Παρνησίδα,
560.5 γλώσσης ἀυτὴν Φωκίδος μιμουμένω.
565.1 καὶ δὴ θυρωρῶν οὔτις ἂν φαιδρᾷ φρενὶ
565.2 δέξαιτ’, ἐπειδὴ δαιμονᾷ δόμος κακοῖς·
565.3 μενοῦμεν οὕτως ὥστ’ ἐπεικάζειν τινὰ
565.4 δόμοις παραστείχοντα καὶ τάδ’ ἐννέπειν·
565.5 ‘τί δὴ πύλῃσι τὸν ἱκέτην ἀπείργεται
570.1 Αἴγισθος, εἴπερ οἶδεν ἔνδημος παρών;‘
570.2 εἰ δ’ οὖν ἀμείψω βαλὸν ἑρκείων πυλῶν
570.3 κἀκεῖνον ἐν θρόνοισιν εὑρήσω πατρός,
570.4 ἢ καὶ μολὼν ἔπειτά μ’ οἱ κατὰ στόμα
570.5 ἐρεῖ, σάφ’ ἴσθι, καὶ κατ’ ὀφθαλμοὺς καλεῖν,
575.1 πρὶν αὐτὸν εἰπεῖν ‘ποδαπὸς ὁ ξένος;‘ νεκρὸν
575.2 θήσω, ποδώκει περιβαλὼν χαλκεύματι.
575.3 φόνου δ’ Ἐρινὺς οὐχ ὑπεσπανισμένη
575.4 ἄκρατον αἷμα πίεται τρίτην πόσιν.
575.5 νῦν οὖν σὺ μὲν φύλασσε τἀν οἴκῳ καλῶς,
580.1 ὅπως ἂν ἀρτίκολλα συμβαίνῃ τάδε·
580.2 ὑμῖν δ’ ἐπαινῶ γλῶσσαν εὔφημον φέρειν,
580.3 σιγᾶν θ’ ὅπου δεῖ καὶ λέγειν τὰ καίρια.
580.4 τὰ δ’ ἄλλα τούτῳ δεῦρ’ ἐποπτεῦσαι λέγω,
unit_175 ξιφηφόρους ἀγῶνας ὀρθώσαντί μοι.
585.1 Χο.πολλὰ μὲν γᾶ τρέφει[στρ. α.
585.2 δεινὰ δειμάτων ἄχη,
585.3 πόντιαί τ’ ἀγκάλαι κνωδάλων
585.4 ἀνταίων βρύουσι, [πλά-
585.5 θουσι] βλαστοῦσι καὶ πεδαίχμιοι
590.1 λαμπάδες πεδάοροι,
590.2 πτανά τε καὶ πεδοβάμονα κἀνεμόεντ’ ἂν
590.3 αἰγίδων φράσαι κότον.
594 ἀλλ’ ὑπέρτολμον ἀν-[ἀντ. α.
595.1 δρὸς φρόνημα τίς λέγοι
595.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ γυναικῶν φρεσὶν τλημόνων
595.3 παντόλμους ἔρωτας, ἄ-
595.4 ταισι συννόμους βροτῶν;
595.5 συζύγους δ’ ὁμαυλίας
unit_180.1 θηλυκρατὴς ἀπέρωτος ἔρως παρανικᾷ
unit_180.2 κνωδάλων τε καὶ βροτῶν.
601 ἴστω δ’ ὅστις οὐχ ὑπόπτερος[στρ. β.
602.1 φροντίσιν δαεὶς
602.2 τὰν ἁ παιδολυ-
602.3 μὰς τάλαινα Θεστιὰς
605.1 μήσατο,
605.2 πυρδαῆ τινὰ πρόνοιαν,
unit_184.1 καταίθουσα παιδὸς δαφοινὸν
unit_184.2 δαλὸν ἥλικ’, ἐπεὶ μολὼν
unit_184.3 ματρόθεν κελάδησε,
610.1 ξύμμετρόν τε διαὶ βίου
610.2 μοιρόκραντον ἐς ἦμαρ.
611.1 ἄλλαν δ’ ἦν τιν’ ἐν λόγοις στυγεῖν[ἀντ. β.
611.2 φοινίαν Σκύλλαν,
611.3 ἅτ’ ἐχθρῶν ὕπερ
615.1 φῶτ’ ἀπώλεσεν φίλον,
615.2 Κρητικοῖς
615.3 χρυσεοδμήτοισιν ὅρμοις
615.4 πιθήσασα, δώροισι Μίνω,
615.5 Νῖσον ἀθανάτας τριχὸς
620.1 νοσφίσασα προβούλως
620.2 πνέονθ’ ἁ κυνόφρων ὕπνῳ·
620.3 κιγχάνει δέ νιν Ἑρμῆς.
622.1 ἐπεὶ δ’ ἐπεμνησάμην ἀμειλίχων[στρ. γ.
622.2 πόνων— ἀκαίρως δὲ δυσφιλὲς γαμή-
625.1 λευμ’ ἀπεύχετον δόμοις
625.2 γυναικοβούλους τε μήτιδας φρενῶν
625.3 ἐπ’ ἀνδρὶ τευχεσφόρῳ
625.4 ἐπ’ ἀνδρὶ δῄοις ἐπικότω σέβας
625.5 τίων [δ’] ἀθέρμαντον ἑστίαν δόμων,
630.1 γυναικείαν ἄτολμον αἰχμάν.
630.2 κακῶν δὲ πρεσβεύεται τὸ Λήμνιον[ἀντ. γ.
630.3 λόγῳ· γοᾶται δὲ δημόθεν κατά-
630.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πτυστον· ᾔκασεν δέ τις
630.5 τὸ δεινὸν αὖ Λημνίοισι πήμασιν.
635.1 θεοστυγήτῳ δ’ ἄγει
635.2 βροτῶν ἀτιμωθὲν οἴχεται γένος.
635.3 σέβει γὰρ οὔτις τὸ δυσφιλὲς θεοῖς.
635.4 τί τῶνδ’ οὐκ ἐνδίκως ἀγείρω;
638 τὸ δ’ ἄγχι πλευμόνων ξίφος[στρ. δ.
640.1 διανταίαν ὀξυπευκὲς οὐτᾷ,
640.2 διαὶ Δίκας—τὸ μὴ θέμις—[γὰρ οὐ]
640.3 λὰξ πέδοι πατουμένας,
644 τὸ πᾶν Διὸς σέβας παρεκ-
645 βάντας οὐ θεμιστῶς.
645.1 Δίκας δ’ ἐρείδεται πυθμήν·[ἀντ. δ.
645.2 προχαλκεύει δ’ Αἶσα φασγανουργός·
645.3 τέκνον δ’ ἐπεισφέρει δόμοις
645.4 αἱμάτων παλαιτέρων
unit_198.1 τίνειν μύσος χρόνῳ κλυτὰ
unit_198.2 βυσσόφρων Ἐρινύς.
653 Ορ.παῖ παῖ, θύρας ἄκουσον ἑρκείας κτύπον.
unit_200 τίς ἔνδον; ὦ παῖ, παῖ, μάλ’ αὖ, τίς ἐν δόμοις;
655.1 τρίτον τόδ’ ἐκπέραμα δωμάτων καλῶ,
655.2 εἴπερ φιλόξεν’ ἐστὶν Αἰγίσθου διαί.
656 ΟΙΚΕΤΗΣ
657.1 εἶέν, ἀκούω· ποδαπὸς ὁ ξένος; πόθεν;
657.2 Ορ.ἄγγελλε τοῖσι κυρίοισι δωμάτων,
657.3 πρὸς οὕσπερ ἥκω καὶ φέρω καινοὺς λόγους.
660.1 τάχυνε δ’, ὡς καὶ νυκτὸς ἅρμ’ ἐπείγεται
660.2 σκοτεινόν, ὥρα δ’ ἐμπόρους μεθιέναι
660.3 ἄγκυραν ἐν δόμοισι πανδόκοις ξένων.
660.4 ἐξελθέτω τις δωμάτων τελεσφόρος,
660.5 γυνὴ τόπαρχος—ἄνδρα δ’ εὐπρεπέστερον·
665.1 αἰδὼς γὰρ ἐν λέσχῃσιν οὖς’ ἐπαργέμους
665.2 λόγους τίθησιν· εἶπε θαρσήσας ἀνὴρ
665.3 πρὸς ἄνδρα κἀσήμηνεν ἐμφανὲς τέκμαρ.
667 ΚΛΥΤΑΙΜΗΣΤΡΑ
668.1 ξένοι, λέγοιτ’ ἂν εἴ τι δεῖ· πάρεστι γὰρ
668.2 ὁποῖάπερ δόμοισι τοῖσδ’ ἐπεικότα,
670.1 καὶ θερμὰ λουτρὰ καὶ πόνων θελκτηρία
670.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

στρωμνή, δικαίων τ’ ὀμμάτων παρουσία.
εἰ δ’ ἄλλο πρᾶξαι δεῖ τι βουλιώτερον,
ἀνδρῶν τόδ’ ἐστὶν ἔργον, οἷς κοινώσομεν.
Ορ.ξένος μέν εἰμι Δαυλιεὺς ἐκ Φωκέων·
στείχοντα δ’ αὐτόφορτον οἰκείᾳ σαγῇ
εἰς Ἄργος, ὥσπερ δεῦρ’ ἀπεζύγην πόδας,
ἀγνὼς πρὸς ἀγνῶτ’ εἶπε συμβαλὼν ἀνήρ,
ἐξιστορήσας καὶ σαφηνίσας ὁδόν,
Στροφίος ὁ Φωκεύς· πεύθομαι γὰρ ἐν λόγῳ·
‘ἐπείπερ ἄλλως, ὦ ξέν’, εἰς Ἄργος κίεις,
πρὸς τοὺς τεκόντας πανδίκως μεμνημένος
τεθνεῶτ’ Ὀρέστην εἰπέ, μηδαμῶς λάθῃ.
εἴτ’ οὖν κομίζειν δόξα νικήσει φίλων,
εἴτ’ οὖν μέτοικον, εἰς τὸ πᾶν ἀεὶ ξένον,
θάπτειν, ἐφετμὰς τάσδε πόρθμευσον πάλιν.
νῦν γὰρ λέβητος χαλκέου πλευρώματα
σποδὸν κέκευθεν ἀνδρὸς εὖ κεκλαυμένου.‘
τοσαῦτ’ ἀκούσας εἶπον. εἰ δὲ τυγχάνω
τοῖς κυρίοισι καὶ προσήκουσιν λέγων
οὐκ οἶδα· τὸν τεκόντα δ’ εἰκὸς εἰδέναι.
Κλ.οἲ ’γώ, κατ’ ἄκρας εἶπας ὡς πορθούμεθα.
ὦ δυσπάλαιστε τῶνδε δωμάτων Ἀρά,
ὡς πόλλ’ ἐπωπᾷς κἀκποδὼν εὖ κείμενα,
τόξοις πρόσωθεν εὐσκόποις χειρουμένη.
φίλων ἀποψιλοῖς με τὴν παναθλίαν.
καὶ νῦν—Ὀρέστης ἦν γὰρ εὐβούλως ἔχων,
ἔξω κομίζων ὀλεθρίου πηλοῦ πόδα—
νῦν δ’ ἥπερ ἐν δόμοισι βακχίας καλῆς
ἰατρὸς ἐλπὶς ἦν, παροῦσαν ἐγγράφει.
Ορ.ἐγὼ μὲν οὖν ξένοισιν ὧδ’ εὐδαίμοσι
κεδνῶν ἕκατι πραγμάτων ἂν ἤθελον
γνωτὸς γενέσθαι καὶ ξενωθῆναι· τί γὰρ
ξένου ξένοισίν ἐστιν εὐμενέστερον;
πρὸς δ’ εὐσεβείας ἦν ἐμοὶ τόδ’ ἐν φρεσίν,
τοιόνδε πρᾶγμα μὴ καρανῶσαι φίλοις,
καταινέσαντα καὶ κατεξενωμένον.
Κλ.οὔτοι κυρήσεις μεῖον ἀξίως σέθεν,
οὐδ’ ἧσσον ἂν γένοιο δώμασιν φίλος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄλλος δ’ ὁμοίως ἦλθεν ἂν τάδ’ ἀγγελῶν.
710.1 ἀλλ’ ἔσθ’ ὁ καιρὸς ἡμερεύοντας ξένους
710.2 μακρᾶς κελεύθου τυγχάνειν τὰ πρόσφορα.
710.3 ἄγ’ αὐτὸν εἰς ἀνδρῶνας εὐξένους δόμων,
710.4 ὀπισθόπους τε τούσδε καὶ ξυνεμπόρους·
710.5 κἀκεῖ κυρούντων δώμασιν τὰ πρόσφορα.
715.1 αἰνῶ δὲ πράσσειν ὡς ὑπευθύνῳ τάδε.
715.2 ἡμεῖς δὲ ταῦτα τοῖς κρατοῦσι δωμάτων
715.3 κοινώσομέν τε κοὐ σπανίζοντες φίλων
715.4 βουλευσόμεσθα τῆσδε συμφορᾶς πέρι.
718 Χο.εἶέν, φίλιαι δμωίδες οἴκων,
720.1 πότε δὴ στομάτων
720.2 δείξομεν ἰσχὺν ἐπ’ Ὀρέστῃ;
720.3 ὦ πότνια χθὼν καὶ πότνι’ ἀκτὴ
720.4 χώματος, ἣ νῦν ἐπὶ ναυάρχῳ
720.5 σώματι κεῖσαι τῷ βασιλείῳ,
725.1 νῦν ἐπάκουσον, νῦν ἐπάρηξον·
725.2 νῦν γὰρ ἀκμάζει Πειθὼ δολίαν
725.3 ξυγκαταβῆναι, χθόνιον δ’ Ἑρμῆν
725.4 καὶ τὸν νύχιον τοῖσδ’ ἐφοδεῦσαι
unit_223 ξιφοδηλήτοισιν ἀγῶσιν.
730.1 —ἔοικεν ἁνὴρ ὁ ξένος τεύχειν κακόν·
730.2 τροφὸν δ’ Ὀρέστου τήνδ’ ὁρῶ κεκλαυμένην.
730.3 ποῖ δὴ πατεῖς, Κίλισσα, δωμάτων πύλας;
730.4 λύπη δ’ ἄμισθός ἐστί σοι ξυνέμπορος.
733 ΤΡΟΦΟΣ
734 Αἴγισθον ἡ κρατοῦσα τοῖς ξένοις καλεῖν
735.1 ὅπως τάχιστ’ ἄνωγεν, ὡς σαφέστερον
735.2 ἀνὴρ ἀπ’ ἀνδρὸς τὴν νεάγγελτον φάτιν
735.3 ἐλθὼν πύθηται· τὴν δὲ πρὸς μὲν οἰκέτας
735.4 θέτο σκυθρωπόν, ἐντὸς ὀμμάτων γέλων
735.5 κεύθουσ’ ἐπ’ ἔργοις διαπεπραγμένοις καλῶς
740.1 κείνῃ—δόμοις δὲ τοῖσδε παγκάκως ἔχει,
740.2 φήμης ὕφ’, ἧς ἤγγειλαν οἱ ξένοι τορῶς.
740.3 ἦ δὴ κλύων ἐκεῖνος εὐφρανεῖ νόον,
740.4 εὖτ’ ἂν πύθηται μῦθον. ὢ τάλαιν’ ἐγώ·
740.5 ὥς μοι τὰ μὲν παλαιὰ συγκεκραμένα
745.1 ἄλγη δύσοιστα τοῖσδ’ ἐν Ἀτρέως δόμοις
745.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τυχόντ’ ἐμὴν ἤλγυνεν ἐν στέρνοις φρένα,
745.3 ἀλλ’ οὔτι πω τοιόνδε πῆμ’ ἀνεσχόμην.
745.4 τὰ μὲν γὰρ ἄλλα τλημόνως ἤντλουν κακά·
745.5 φίλον δ’ Ὀρέστην, τῆς ἐμῆς ψυχῆς τριβήν,
unit_230 ὃν ἐξέθρεψα μητρόθεν δεδεγμένη
unit_231.1 . . . . . . . .
unit_231.2 καὶ νυκτιπλάγκτων ὀρθίων κελευμάτων
unit_231.3 καὶ πολλὰ καὶ μοχθήρ’ ἀνωφέλητ’ ἐμοὶ
unit_231.4 τλάσῃ—τὸ μὴ φρονοῦν γὰρ ὡσπερεὶ βοτὸν
unit_232 τρέφειν ἀνάγκη, πῶς γὰρ οὔ; τρόπῳ φρενός·
755.1 οὐ γάρ τι φωνεῖ παῖς ἔτ’ ὢν ἐν σπαργάνοις,
755.2 εἰ λιμός, ἢ δίψη τις, ἢ λιψουρία
755.3 ἔχει· νέα δὲ νηδὺς αὐτάρκης τέκνων.
755.4 τούτων πρόμαντις οὖσα, πολλὰ δ’, οἴομαι,
755.5 ψευσθεῖσα, παιδὸς σπαργάνων φαιδρύντρια—
760.1 κναφεὺς τροφεύς τε ταὐτὸν εἰχέτην τέλος.
760.2 ἐγὼ διπλᾶς δὲ τάσδε χειρωναξίας
760.3 ἔχους’ Ὀρέστην ἐξεδεξάμην πατρί·
760.4 τεθνηκότος δὲ νῦν τάλαινα πεύθομαι.
760.5 στείχω δ’ ἐπ’ ἄνδρα τῶνδε λυμαντήριον
765.1 οἴκων, θέλων δὲ τόνδε πεύσεται λόγον.
765.2 Χο.πῶς οὖν κελεύει νιν μολεῖν ἐσταλμένον;
765.3 Τρ.ἦ πῶς; λέγ’ αὖθις, ὡς μάθω σαφέστερον.
765.4 Χο.εἰ ξὺν λοχίταις εἴτε καὶ μονοστιβῆ.
765.5 Τρ.ἄγειν κελεύει δορυφόρους ὀπάονας.
770.1 Χο.μή νυν σὺ ταῦτ’ ἄγγελλε δεσπότου στύγει·
770.2 ἀλλ’ αὐτὸν ἐλθεῖν, ὡς ἀδειμάντων κλύῃ,
770.3 ἄνωχθ’ ὅσον τάχιστα, γαθούσῃ φρενί.
770.4 ἐν ἀγγέλῳ γὰρ κυπτὸς ὀρθοῦται λόγος.
770.5 Τρ.ἀλλ’ ἦ φρονεῖς εὖ τοῖσι νῦν ἠγγελμένοις;
775.1 Χο.ἀλλ’ εἰ τροπαίαν Ζεὺς κακῶν θήσει ποτέ;
775.2 Τρ.καὶ πῶς; Ὀρέστης ἐλπὶς οἴχεται δόμων.
775.3 Χο.οὔπω· κακός γε μάντις ἂν γνοίη τάδε.
775.4 Τρ.τί φῄς; ἔχεις τι τῶν λελεγμένων δίχα;
unit_238 Χο.ἄγγελλ’ ἰοῦσα, πρᾶσσε τἀπεσταλμένα.
780.1 μέλει θεοῖσιν ὧνπερ ἂν μέλῃ πέρι.
780.2 Τρ.ἀλλ’ εἶμι καὶ σοῖς ταῦτα πείσομαι λόγοις.
780.3 γένοιτο δ’ ὡς ἄριστα σὺν θεῶν δόσει.
782.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Χο.νῦν παραιτουμένᾳ μοι, πάτερ[στρ. α.
782.2 Ζεῦ θεῶν Ὀλυμπίων,
785.1 δὸς τυχὰς τυχεῖν δόμου
785.2 κυρίοις τὰ σώφρον’ αὖ
786.1 μαιομένοις ἰδεῖν.
786.2 διὰ δίκας ἔπος ἅπαν ἔλακον, ὦ
786.3 Ζεῦ, σύ νιν φυλάσσοις.
788 αἰαῖ, πρὸ δὲ δὴ ’χθρῶν[μεσῳδ. α.
790.1 τῶν ἔσω μελάθρων,
790.2 ὦ Ζεῦ, θές, ἐπεί νιν μέγαν ἄρας
790.3 δίδυμα καὶ τριπλᾶ παλίμ-
790.4 ποινα θέλων ἀμείψῃ.
793 ἴσθι δ’ ἀνδρὸς φίλου πῶλον εὖ-[ἀντ. α.
795.1 νιν ζυγέντ’ ἐν ἅρμασιν
795.2 πημάτων, 〈σὺ δ’〉 ἐν δρόμῳ
795.3 προστιθεὶς μέτρον κτίσον
797.1 σῳζομένων ῥυθμόν,
797.2 διὰ πέδον τοῦτ’ ἰδεῖν ἀνομένων
797.3 βημάτων ὄρεγμα.
unit_248.1 οἵ τ’ ἔσω δωμάτων πλουτογα-[στρ. β.
unit_248.2 θῆ μυχὸν νομίζετε,
unit_248.3 κλῦτε, σύμφρονες θεοί·
unit_248.4 ἄγετε . . . .
unit_248.5 τῶν πάλαι πεπραγμένων
805.1 λύσασθ’ αἷμα προσφάτοις δίκαις·
805.2 γέρων φόνος μηκέτ’ ἐν δόμοις τέκοι.
806.1 τὸ δὲ καλῶς κτίμενον ὦ μέγα ναίων[μεσῳδ. β.
806.2 στόμιον, εὖ δὸς ἀνιδεῖν δόμον ἀνδρός,
806.3 καί νιν ἐλευθερίας φῶς
810.1 λαμπρὸν ἰδεῖν φιλίοις
810.2 ὄμμασιν 〈ἐκ〉 δνοφερᾶς καλύπτρας.
811.1 ξυλλάβοι δ’ ἐνδίκως παῖς ὁ Μαί-[ἀντ. β.
811.2 ας, ἐπεὶ φορώτατος
811.3 πρᾶξιν οὐρίσαι θέλων.
815 ἀλαὰ πολλὰ δ’ ἀμφανεῖ χρῄζων [κρυπτά],
unit_254.1 ἄσκοπον δ’ ἔπος λέγων
unit_254.2 νυκτὸς προὐμμάτων σκότον φέρει,
unit_254.3 καθ’ ἡμέραν δ’ οὐδὲν ἐμφανέστερος.
818

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ τότ’ ἤδη πλοῦτον[στρ. γ.
820.1 δωμάτων λυτήριον,
820.2 θῆλυν οὐριοστάταν
820.3 ὁμοῦ κρεκτὸν γοήτων νόμον
824 μεθήσομεν· πλεῖ τάδ’ εὖ·
825.1 ἐμὸν ἐμὸν κέρδος αὔξεται τόδ’, ἄ-
825.2 τα δ’ ἀποστατεῖ φίλων.
826.1 σὺ δὲ θαρσῶν ὅταν ἥκῃ μέρος ἔργων[μεσῳδ. γ.
826.2 ἐπαΰσας θροεούσᾳ
826.3 πρὸς σὲ ‘Τέκνον‘, ‘Πατρὸσ‘ αὔδα,
830 καὶ πέραιν’
830 ἀνεπίμομφον ἄταν.
830.1 Περσέως τ’ ἐν φρεσὶν[ἀντ. γ.
830.2 〈σαῖσι〉 καρδίαν σχεθών,
830.3 τοῖς θ’ ὑπὸ χθονὸς φίλος
830.4 τοῖς τ’ ἄνωθεν, προφράσσων φάρος
835.1 Γοργοῦς λυγρᾶς ἔνδοθεν
835.2 φόνιον ἄταν τίθει, τὸν αἴτιον δ’
835.3 ἐξαπόλλυ’ εἰσορῶν.
837 ΑΙΓΙΣΘΟΣ
838.1 ἥκω μὲν οὐκ ἄκλητος, ἀλλ’ ὑπάγγελος·
838.2 νέαν φάτιν δὲ πεύθομαι λέγειν τινὰς
840.1 ξένους μολόντας οὐδαμῶς ἐφίμερον,
840.2 μόρον γ’ Ὀρέστου. καὶ τόδ’ αὖ φέρειν δόμοις
840.3 γένοιτ’ ἂν ἄχθος αἱματοσταγές, φόνῳ
840.4 τῷ πρόσθεν ἑλκαίνουσι καὶ δεδηγμένοις.
840.5 πῶς ταῦτ’ ἀληθῆ καὶ βλέποντα δοξάσω;
845.1 ἢ πρὸς γυναικῶν δειματούμενοι λόγοι
845.2 πεδάρσιοι θρῴσκουσι, θνῄσκοντες μάτην;
845.3 τί τῶνδ’ ἂν εἴποις ὥστε δηλῶσαι φρενί;
845.4 Χο.ἠκούσαμεν μέν, πυνθάνου δὲ τῶν ξένων
845.5 ἔσω παρελθών. οὐδὲν ἀγγέλων σθένος
unit_268.1 ὡς αὐτός’ αὐτὸν ἄνδρα πεύθεσθαι πέρι.
unit_268.2 Αι.ἰδεῖν ἐλέγξαι τ’ εὖ θέλω τὸν ἄγγελον,
unit_268.3 εἴτ’ αὐτὸς ἦν θνῄσκοντος ἐγγύθεν παρών,
unit_268.4 εἴτ’ ἐξ ἀμαυρᾶς κληδόνος λέγει μαθών.
unit_268.5 οὔτοι φρέν’ ἂν κλέψειεν ὠμματωμένην.
855 Χο.Ζεῦ Ζεῦ, τί λέγω, πόθεν ἄρξωμαι
unit_270.1

τάδ’ ἐπευχομένη κἀπιθεάζους’,
unit_270.2 ὑπὸ δ’ εὐνοίας
unit_270.3 πῶς ἴσον εἰποῦς’ ἀνύσωμαι;
unit_270.4 νῦν γὰρ μέλλουσι μιανθεῖσαι
860.1 πειραὶ κοπάνων ἀνδροδαΐκτων
860.2 ἢ πάνυ θήσειν Ἀγαμεμνονίων
860.3 οἴκων ὄλεθρον διὰ παντός,
860.4 ἢ πῦρ καὶ φῶς ἐπ’ ἐλευθερίᾳ
860.5 δαίων ἀρχαῖς τε πολισσονόμοις
865.1 ἕξει πατέρων μέγαν ὄλβον.
865.2 τοιάνδε πάλην μόνος ὢν ἔφεδρος
865.3 δισσοῖς μέλλει θεῖος Ὀρέστης
865.4 ἅψειν. εἴη δ’ ἐπὶ νίκῃ.
865.5 Αι.ἒ ἕ, ὀτοτοτοῖ.
870.1 Χο.— ἔα ἔα μάλα·
870.2 — πῶς ἔχει; πῶς κέκρανται δόμοις;
870.3 — ἀποσταθῶμεν πράγματος τελουμένου,
870.4 ὅπως δοκῶμεν τῶνδ’ ἀναίτιαι κακῶν
870.5 εἶναι· μάχης γὰρ δὴ κεκύρωται τέλος.
875 ΟΙΚΕΤΗΣ
875.1 οἴμοι, πανοίμοι δεσπότου τελουμένου·
875.2 οἴμοι μάλ’ αὖθις ἐν τρίτοις προσφθέγμασιν.
875.3 Αἴγισθος οὐκέτ’ ἔστιν. ἀλλ’ ἀνοίξατε
875.4 ὅπως τάχιστα, καὶ γυναικείους πύλας
875.5 μοχλοῖς χαλᾶτε· καὶ μάλ’ ἡβῶντος δὲ δεῖ—
880.1 οὐχ ὥστ’ ἀρῆξαι διαπεπραγμένῳ· τί γάρ;
880.2 ἰοὺ ἰού.
881.1 κωφοῖς ἀυτῶ καὶ καθεύδουσιν μάτην
881.2 ἄκραντα βάζω. ποῦ Κλυταιμήστρα; τί δρᾷ;
881.3 ἔοικε νῦν αὐτῆς ἐπὶ ξυροῦ πέλας
881.4 αὐχὴν πεσεῖσθαι πρὸς δίκην πεπληγμένος.
885.1 Κλ.τί δ’ ἐστὶ χρῆμα; τίνα βοὴν ἵστης δόμοις;
885.2 Οι.τὸν ζῶντα καίνειν τοὺς τεθνηκότας λέγω.
885.3 Κλ.οἲ ’γώ, ξυνῆκα τοὔπος ἐξ αἰνιγμάτων.
885.4 δόλοις ὀλούμεθ’, ὥσπερ οὖν ἐκτείναμεν.
885.5 δοίη τις ἀνδροκμῆτα πέλεκυν ὡς τάχος·
890.1 εἰδῶμεν εἰ νικῶμεν, ἢ νικώμεθα.
890.2 ἐνταῦθα γὰρ δὴ τοῦδ’ ἀφικόμην κακοῦ.
891.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ορ.σὲ καὶ ματεύω· τῷδε δ’ ἀρκούντως ἔχει.
891.2 Κλ.οἲ ’γώ. τέθνηκας, φίλτατ’, Αἰγίσθου βία.
891.3 Ορ.φιλεῖς τὸν ἄνδρα; τοιγὰρ ἐν ταὐτῷ τάφῳ
895.1 κείσῃ. θανόντα δ’ οὔτι μὴ προδῷς ποτε.
895.2 Κλ.ἐπίσχες, ὦ παῖ, τόνδε δ’ αἴδεσαι, τέκνον,
895.3 μαστόν, πρὸς ᾧ σὺ πολλὰ δὴ βρίζων ἅμα
895.4 οὔλοισιν ἐξήμελξας εὐτραφὲς γάλα.
895.5 Ορ.Πυλάδη, τί δράσω; μητέρ’ αἰδεσθῶ κτανεῖν;
unit_282 ΠΥΛΑΔΗΣ
unit_283.1 ποῦ δὴ τὸ λοιπὸν Λοξίου μαντεύματα
unit_283.2 τὰ πυθόχρηστα, πιστά τ’ εὐορκώματα;
unit_283.3 ἅπαντας ἐχθροὺς τῶν θεῶν ἡγοῦ πλέον.
unit_283.4 Ορ.κρίνω σε νικᾶν, καὶ παραινεῖς μοι καλῶς.
unit_284 ἕπου, πρὸς αὐτὸν τόνδε σε σφάξαι θέλω·
905.1 καὶ ζῶντα γάρ νιν κρείσσον’ ἡγήσω πατρός.
905.2 τούτῳ θανοῦσα ξυγκάθευδ’, ἐπεὶ φιλεῖς
905.3 τὸν ἄνδρα τοῦτον, ὃν δὲ χρῆν φιλεῖν στυγεῖς.
905.4 Κλ.ἐγώ ς’ ἔθρεψα, σὺν δὲ γηράναι θέλω.
905.5 Ορ.πατροκτονοῦσα γὰρ ξυνοικήσεις ἐμοί;
910.1 Κλ.ἡ Μοῖρα τούτων, ὦ τέκνον, παραιτία.
910.2 Ορ.καὶ τόνδε τοίνυν Μοῖρ’ ἐπόρσυνεν μόρον.
910.3 Κλ.οὐδὲν σεβίζῃ γενεθλίους ἀράς, τέκνον;
910.4 Ορ.τεκοῦσα γάρ μ’ ἔρριψας ἐς τὸ δυστυχές.
910.5 Κλ.οὔτοι ς’ ἀπέρριψ’ ἐς δόμους δορυξένους.
915.1 Ορ.αἰκῶς ἐπράθην ὢν ἐλευθέρου πατρός.
915.2 Κλ.ποῦ δῆθ’ ὁ τῖμος, ὅντιν’ ἀντεδεξάμην;
915.3 Ορ.αἰσχύνομαί σοι τοῦτ’ ὀνειδίσαι σαφῶς.
915.4 Κλ.[μὴ] ἀλλ’ εἴφ’ ὁμοίως καὶ πατρὸς τοῦ σοῦ μάτας.
915.5 Ορ.μὴ ἔλεγχε τὸν πονοῦντ’ ἔσω καθημένη.
920.1 Κλ.ἄλγος γυναιξὶν ἀνδρὸς εἴργεσθαι, τέκνον.
920.2 Ορ.τρέφει δέ γ’ ἀνδρὸς μόχθος ἡμένας ἔσω.
920.3 Κλ.κτενεῖν ἔοικας, ὦ τέκνον, τὴν μητέρα.
920.4 Ορ.σύ τοι σεαυτήν, οὐκ ἐγώ, κατακτενεῖς.
920.5 Κλ.ὅρα, φύλαξαι μητρὸς ἐγκότους κύνας.
925.1 Ορ.τὰς τοῦ πατρὸς δὲ πῶς φύγω, παρεὶς τάδε;
925.2 Κλ.ἔοικα θρηνεῖν ζῶσα πρὸς τύμβον μάτην.
925.3 Ορ.πατρὸς γὰρ αἶσα τόνδε σοὐρίζει μόρον.
925.4 Κλ.οἲ ’γὼ τεκοῦσα τόνδ’ ὄφιν ἐθρεψάμην.
925.5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ορ.ἦ κάρτα μάντις οὐξ ὀνειράτων φόβος.
930.1 ἔκανες ὃν οὐ χρῆν, καὶ τὸ μὴ χρεὼν πάθε.
930.2 Χο.στένω μὲν οὖν καὶ τῶνδε συμφορὰν διπλῆν.
930.3 ἐπεὶ δὲ πολλῶν αἱμάτων ἐπήκρισε
930.4 τλήμων Ὀρέστης, τοῦθ’ ὅμως αἱρούμεθα,
930.5 ὀφθαλμὸν οἴκων μὴ πανώλεθρον πεσεῖν.
935.1 —ἔμολε μὲν δίκα Πριαμίδαις χρόνῳ,[στρ. α.
935.2 βαρύδικος ποινά·
935.3 ἔμολε δ’ ἐς δόμον τὸν Ἀγαμέμνονος
935.4 διπλοῦς λέων, διπλοῦς Ἄρης.
935.5 ἔλαχε δ’ ἐς τὸ πᾶν
940.1 ὁ πυθόχρηστος φυγὰς
940.2 θεόθεν εὖ φραδαῖσιν ὡρμημένος.
941.1 ἐπολολύξατ’ ὦ δεσποσύνων δόμων[μεσῳδ.
941.2 ἀναφυγᾷ κακῶν καὶ κτεάνων τριβᾶς
941.3 ὑπὸ δυοῖν μιαστόροιν
945 δυσοίμου τύχας.
945.1 ἔμολε δ’ ᾧ μέλει κρυπταδίου μάχας[ἀντ. α.
945.2 δολιόφρων ποινά·
945.3 ἔθιγε δ’ ἐν μάχᾳ χερὸς ἐτήτυμος
945.4 Διὸς κόρα—Δίκαν δέ νιν
unit_296.1 προσαγορεύομεν
unit_296.2 βροτοὶ τυχόντες καλῶς—
unit_297.1 ὀλέθριον πνέους’ ἐν ἐχθροῖς κότον·
unit_297.2 τάπερ ὁ Λοξίας ὁ Παρνασίας[στρ. β.
unit_297.3 μέγαν ἔχων μυχὸν χθονὸς ἐπωρθία-
955.1 ξεν ἀδόλως δολίας
955.2 βλαπτομέναν ἐγχρονισθεῖσαν ἐποίχεται,
958.1 κρατεῖ τ’ αἰεί πως τὸ θεῖον [παρὰ] τὸ μὴ
958.2 ὑπουργεῖν κακοῖς,
960.1 ἄξια δ’ οὐρανοῦχον ἀρχὰν σέβειν.
960.2 〈πάρα τὸ φῶς ἰδεῖν.〉
961.1 πάρα τε φῶς ἰδεῖν, μέγα τ’ ἀφηρέθη[μεσῳδ.
961.2 ψάλιον οἴκων.
961.3 ἄναγε μὰν δόμοι· πολὺν ἄγαν χρόνον
961.4 χαμαιπετεῖς ἔκεισθε.
965.1 τάχα δὲ παντελὴς χρόνος ἀμείψεται[ἀντ. β.
965.2 πρόθυρα δωμάτων, ὅταν ἀφ’ ἑστίας
965.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μύσος ἅπαν ἐλάσῃ
καθαρμοῖσιν ἀτᾶν ἐλατηρίοις.
τύχᾳ δ’ εὐπροσώπῳ κεῖται τὸ πᾶν
ἰδεῖν, θρεομένοις
“Μέτοικοι δόμων πεσοῦνται πάλιν.”
πάρα τὸ φῶς ἰδεῖν.
Ορ.ἴδεσθε χώρας τὴν διπλῆν τυραννίδα
πατροκτόνους τε δωμάτων πορθήτορας.
σεμνοὶ μὲν ἦσαν ἐν θρόνοις τόθ’ ἥμενοι,
φίλοι δὲ καὶ νῦν, ὡς ἐπεικάσαι πάθη
πάρεστιν, ὅρκος τ’ ἐμμένει πιστώμασιν.
ξυνώμοσαν μὲν θάνατον ἀθλίῳ πατρὶ
καὶ ξυνθανεῖσθαι· καὶ τάδ’ εὐόρκως ἔχει.
ἴδεσθε δ’ αὖτε, τῶνδ’ ἐπήκοοι κακῶν,
τὸ μηχάνημα, δεσμὸν ἀθλίῳ πατρί,
πέδας τε χειροῖν καὶ ποδοῖν ξυνωρίδα.
ἐκτείνατ’ αὐτὸ καὶ κύκλῳ παρασταδὸν
στέγαστρον ἀνδρὸς δείξαθ’, ὡς ἴδῃ πατήρ—
οὐχ ούμός, ἀλλ’ ὁ πάντ’ ἐποπτεύων τάδε
Ἥλιος—ἄναγνα μητρὸς ἔργα τῆς ἐμῆς,
ὡς ἂν παρῇ μοι μάρτυς ἐν δίκῃ ποτέ,
ὡς τόνδ’ ἐγὼ μετῆλθον ἐνδίκως φόνον
τὸν μητρός· Αἰγίσθου γὰρ οὐ λέγω μόρον·
ἔχει γὰρ αἰσχυντῆρος, ὡς νόμος, δίκην.
ἥτις δ’ ἐπ’ ἀνδρὶ τοῦτ’ ἐμήσατο στύγος,
ἐξ οὗ τέκνων ἤνεγχ’ ὑπὸ ζώνην βάρος,
φίλον τέως, νῦν δ’ ἐχθρόν, ὡς φαίνει, κακόν—
τί σοι δοκεῖ; μύραινά γ’ εἴτ’ ἔχιδν’ ἔφυ
σήπειν θιγοῦσ’ ἂν μᾶλλον οὐ δεδηγμένον
τόλμης ἕκατι κἀκδίκου φρονήματος;
τί νιν προσείπω, κἂν τύχω μάλ’ εὐστομῶν;
ἄγρευμα θηρός, ἢ νεκροῦ ποδένδυτον
δροίτης κατασκήνωμα; δίκτυον μὲν οὖν,
ἄρκυν τ’ ἂν εἴποις καὶ ποδιστῆρας πέπλους.
τοιοῦτον ἂν κτήσαιτο φιλήτης ἀνήρ,
ξένων ἀπαιόλημα κἀργυροστερῆ
βίον νομίζων, τῷδέ τ’ ἂν δολώματι
πολλοὺς ἀναιρῶν πολλὰ θερμαίνοι φρένα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοιάδ’ ἐμοὶ ξύνοικος ἐν δόμοισι μὴ
1005.2 γένοιτ’· ὀλοίμην πρόσθεν ἐκ θεῶν ἄπαις.
1006.1 Χο.αἰαῖ αἰαῖ μελέων ἔργων·
1006.2 στυγερῷ θανάτῳ διεπράχθης.
1006.3 αἰαῖ, αἰαῖ,
1009 μίμνοντι δὲ καὶ πάθος ἀνθεῖ.
1010.1 Ορ.ἔδρασεν ἢ οὐκ ἔδρασε; μαρτυρεῖ δέ μοι
1010.2 φᾶρος τόδ’, ὡς ἔβαψεν Αἰγίσθου ξίφος.
1010.3 φόνου δὲ κηκὶς ξὺν χρόνῳ ξυμβάλλεται,
1010.4 πολλὰς βαφὰς φθείρουσα τοῦ ποικίλματος.
1010.5 νῦν αὐτὸν αἰνῶ, νῦν ἀποιμώζω παρών,
1015.1 πατροκτόνον θ’ ὕφασμα προσφωνῶν τόδε
1015.2 ἀλγῶ μὲν ἔργα καὶ πάθος γένος τε πᾶν,
unit_316.1 ἄζηλα νίκης τῆσδ’ ἔχων μιάσματα.
unit_316.2 Χο.οὔτις μερόπων ἀσινῆ βίοτον
unit_316.3 διὰ πάντ’ ἔντιμος ἀμείψει.
1019 αἰαῖ, αἰαῖ,
1020.1 μόχθος δ’ ὁ μὲν αὐτίχ’, ὁ δ’ ἥξει.
1020.2 Ορ.ἀλλ’ ὡς ἂν εἰδῆτ’, οὐ γὰρ οἶδ’ ὅπη τελεῖ,
1020.3 ὥσπερ ξὺν ἵπποις ἡνιοστροφῶ δρόμου
1020.4 ἐξωτέρω· φέρουσι γὰρ νικώμενον
1020.5 φρένες δύσαρκτοι, πρὸς δὲ καρδίᾳ φόβος
1025.1 ᾄδειν ἑτοῖμος ἠδ’ ὑπορχεῖσθαι κότῳ.
1025.2 ἕως δ’ ἔτ’ ἔμφρων εἰμί, κηρύσσω φίλοις,
1025.3 κτανεῖν τέ φημι μητέρ’ οὐκ ἄνευ δίκης,
1025.4 πατροκτόνον μίασμα καὶ θεῶν στύγος.
1025.5 καὶ φίλτρα τόλμης τῆσδε πλειστηρίζομαι
1030.1 τὸν πυθόμαντιν Λοξίαν, χρήσαντ’ ἐμοὶ
1030.2 πράξαντα μὲν ταῦτ’ ἐκτὸς αἰτίας κακῆς
1030.3 εἶναι, παρέντα δ’—οὐκ ἐρῶ τὴν ζημίαν·
1030.4 τόξῳ γὰρ οὔτις πημάτων ἐφίξεται.
1030.5 καὶ νῦν ὁρᾶτέ μ’, ὡς παρεσκευασμένος
1035.1 ξὺν τῷδε θαλλῷ καὶ στέφει προσίξομαι
1035.2 μεσόμφαλόν θ’ ἵδρυμα, Λοξίου πέδον,
1035.3 πυρός τε φέγγος ἄφθιτον κεκλημένον,
1035.4 φεύγων τόδ’ αἷμα κοινόν· οὐδ’ ἐφ’ ἑστίαν
1035.5 ἄλλην τραπέσθαι Λοξίας ἐφίετο.
1040 τάδ’ ἐν χρόνῳ μοι πάντας Ἀργείους λέγω
1041a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

⟨μνήμῃ φυλάσσειν ὡσ⟩ ἐπορσύνθη κακά,
1041b καὶ μαρτυρεῖν μοι, Μενέλεως ⟨ὅταν μόλῃ.⟩
1042.1 ἐγὼ δ’ ἀλήτης τῆσδε γῆς ἀπόξενος,
1042.2 ζῶν καὶ τεθνηκὼς τάσδε κληδόνας λιπών—
1042.3 Χο.ἀλλ’ εὖ γ’ ἔπραξας, μηδ’ ἐπιζευχθῇς στόμα
1045.1 φήμῃ πονηρᾷ μηδ’ ἐπιγλωσσῶ κακά.
1045.2 ἠλευθέρωσας πᾶσαν Ἀργείων πόλιν,
1045.3 δυοῖν δρακόντοιν εὐπετῶς τεμὼν κάρα.
1045.4 Ορ.ἆ, ἆ,
1048.1 δμωαὶ γυναῖκες· αἵδε, Γοργόνων δίκην,
1048.2 φαιοχίτωνες καὶ πεπλεκτανημέναι
unit_328.1 πυκνοῖς δράκουσιν· οὐκέτ’ ἂν μείναιμ’ ἐγώ.
unit_328.2 Χο.τίνες σε δόξαι, φίλτατ’ ἀνθρώπων πατρί,
unit_328.3 στροβοῦσιν; ἴσχε, μὴ φοβοῦ, νικῶν πολύ.
unit_328.4 Ορ.οὐκ εἰσὶ δόξαι τῶνδε πημάτων ἐμοί·
unit_328.5 σαφῶς γὰρ αἵδε μητρὸς ἔγκοτοι κύνες.
1055.1 Χο.ποταίνιον γὰρ αἷμά σοι χεροῖν ἔτι·
1055.2 ἐκ τῶνδέ τοι ταραγμὸς ἐς φρένας πίτνει.
1055.3 Ορ.ἄναξ Ἄπολλον, αἵδε πληθύουσι δή,
1055.4 κἀξ ὀμμάτων στάζουσι νᾶμα δυσφιλές.
1055.5 Χο.εἷς σοι καθαρμός· Λοξίας δὲ προσθιγὼν
1060 ἐλεύθερόν σε τῶνδε πημάτων κτίσει.
unit_331.1 Ορ.ὑμεῖς μὲν οὐχ ὁρᾶτε τάσδ’, ἐγὼ δ’ ὁρῶ·
unit_331.2 ἐλαύνομαι δὲ κοὐκέτ’ ἂν μείναιμ’ ἐγώ.
unit_331.3 Χο.ἀλλ’ εὐτυχοίης, καί ς’ ἐποπτεύων πρόφρων
unit_331.4 θεὸς φυλάσσοι καιρίοισι συμφοραῖς.
1065.1 —ὅδε τοι μελάθροις τοῖς βασιλείοις
1065.2 τρίτος αὖ χειμὼν
1065.3 πνεύσας γονίας ἐτελέσθη.
1065.4 παιδοβόροι μὲν πρῶτον ὑπῆρξαν
1065.5 μόχθοι τάλανες [τε Θυέστου]·
1070.1 δεύτερον ἀνδρὸς βασίλεια πάθη,
1070.2 λουτροδάικτος δ’ ὤλετ’ Ἀχαιῶν
1070.3 πολέμαρχος ἀνήρ·
1070.4 νῦν δ’ αὖ τρίτος ἦλθέ ποθεν σωτήρ—
1070.5 ἢ μόρον εἴπω;
1075 ποῖ δῆτα κρανεῖ, ποῖ καταλήξει
unit_335 μετακοιμισθὲν μένος ἄτης;

Eulogikon public reading copy · View original HTML at eulogikon.org